**Röm 1,1-7**

**1a** Παῦλος

δοῦλος Χριστοῦ Ἰησοῦ,

**b** κλητὸς ἀπόστολος

**c** ἀφωρισμένος εἰς εὐαγγέλιον θεοῦ,

**2** ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις

**3a** περὶ τοῦ υἱοῦ αὐτοῦ

**b** τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ **c** κατὰ σάρκα,

**4a** τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει **b** κατὰ πνεῦμα ἁγιωσύνης

**c** ἐξ ἀναστάσεως νεκρῶν,

**d** Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν,

**5a** δι᾽ οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν

**b** εἰς ὑπακοὴν πίστεως **c** ἐν πᾶσιν τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ,

**6** ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ,

**7a** πᾶσιν τοῖς οὖσιν ἐν Ῥώμῃ

**b** ἀγαπητοῖς θεοῦ,

**c** κλητοῖς ἁγίοις,

**d** χάρις ὑμῖν καὶ εἰρήνη **e** ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.